δ(ιὰ) τ(ὸ) ε' τ(οῦ) ς' ἄρα τρίγωνον. ἀνάλογον εἰσὶν αἱ πλευραί. ἰσογώνια
ἄρα ἐστὶ τὰ ΛΤΒ ΝΟΖ τρίγωνα. ὥστε καὶ ὅμοια. καὶ πυρα-
μὶς ἄρα ἧς, βάσις μέν ἐστι τὸ ΒΙΣΤ τρίγωνον. κορυφὴ
δὲ τὸ Λ σημεῖον. ὁμοία ἐστὶ πυραμίδι ἧς, βάσις μὲν
τὸ ΖΝΟ τρίγωνον. κορυφὴ δὲ τὸ Ν σημεῖον. ὑπὸ γὰρ
ὁμοίων ἐπιπέδων περιέχονται ἴσων τὸ πλῆθος. αἱ
δ(ιὰ) τ(ὸ) η' τ(οῦ) ιβ' δὲ ὅμοιαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις, ἐν
τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν. ἡ
ἄρα ΒΙΣΤΛ πυραμὶς πρὸς τὴν ΖΝΟΝ πυραμίδα, τριπλα-
σίονα λόγον ἔχει ἤπερ ἡ ΒΙΣ πρὸς τὴν ΖΝ. ὁμοίως δὴ
ἐπιζευγνυμένων ἀπὸ τῶν ΑΧΔΦΓΥ ἐπὶ τὸ Σ εὐθειῶν καὶ ἀπὸ
τῶν ΕΣΘΡΗΠ ἐπὶ τὸ Μ, καὶ ἀνισταμένων ἐπὶ τῶν τριγώ-
νων πυραμίδας τὰς αὐτὰς κορυφὰς ἐχούσας τοῖς
κώνοις. δείξομεν ὅτι καὶ ἑκάστη τῶν ὁμοταγῶν πυρα-
μίδων πρὸς ἑκάστην ὁμοταγῆ πυραμίδα τριπλα-
σίονα λόγον ἕξει. ἤπερ ἡ ΒΙΣ ὁμόλογος πλευρὰ πρὸς
τὴν ΖΝ ὁμόλογον πλευράν. τουτέστιν ἤπερ ἡ ΒΔ πρὸς
ΖΘ. ἀλλ' ὡς ἕν, τῶν ἡγουμένων πρὸς ἕν, τῶν ἑπομέ-
δ(ιὰ) τ(ὸ) ιε' τ(οῦ) ε' νων. οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα
τὰ ἑπόμενα. ἔστιν ἄρα καὶ ὡς ἡ ΒΙΣΤΛ πυραμὶς πρὸς
τὴν ΖΝΟΝ πυραμίδα. οὕτως ἡ ὅλη πυραμὶς ἧς, βά-
σις τὸ ΑΤΒΥ ΓΦΔΧ πολύγωνον. κορυφὴ δὲ τὸ Λ ση-
μεῖον. πρὸς τὴν ὅλην πυραμίδα ἧς, βάσις μέν ἐστι τὸ
ΕΟΖΠ ΗΡΘΣ πολύγωνον. κορυφὴ δὲ τὸ Ν σημεῖον. ὥσ-
τε καὶ πυραμὶς ἧς, βάσις μὲν τὸ ΑΤΒΥ ΓΦΔΧ. κορυφὴ
δὲ τὸ Λ πρὸς τὴν πυραμίδα ἧς, βάσις μὲν τὸ ΕΟΖΠ ΗΡΘΣ

:σημ. τριπλασίονα λόγον ἔχει. ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. ἤπερ κ(αὶ)
ὁ κῶνος οὗ βάσις μὲν ὁ ΑΒΓΔ κύκλος. κορυφὴ δὲ
τὸ Λ. πρὸς τὸ Ξ στερεὸν τρι-
πλασίονα λόγον ἔχει. ἤπερ
ἡ ΒΔ πρὸς τὴν ΖΘ. ἀλλ' ὡς
ὁ κῶνος οὗ βάσις μὲν
ὁ ΑΒΓΔ κύκλος. κορυφὴ
δὲ τὸ Λ. πρὸς τὸ Ξ στερεόν.
οὕτως ἡ πυραμὶς ἧς βά-
σις μὲν τὸ ΑΤΒΥ ΓΦΔΧ
πολύγωνον. κορυφὴ δὲ τὸ Λ
πρὸς τὴν πυραμίδα. ἧς βά-
σις μὲν τὸ ΕΟΖΠ ΗΡΘΣ πο-
λύγωνον. κορυφὴ δὲ τὸ Ν.

πολύγωνον. κορυφὴ δὲ τὸ Ν: ἐναλλὰξ ἄρα ὡς ὁ κῶνος
οὗ, βάσις μέν ἐστιν ὁ ΑΒΓΔ κύκλος. κορυφὴ δὲ τὸ Λ
πρὸς τὴν ἐν αὐτῷ πυραμίδα. ἧς, βάσις μὲν τὸ ΑΤΒΥ
ΓΦΔΧ πολύγωνον κορυφὴ δὲ τὸ Λ. οὕτως τὸ Ξ στερε-
ὸν πρὸς τὴν πυραμίδα ἧς, βάσις μέν ἐστι τὸ ΕΟΖΠ ΗΡΘΣ
πολύγωνον. κορυφὴ δὲ τὸ Ν. μείζων δὲ ὁ εἰρημένος
κῶνος τῆς ἐν αὐτῷ πυραμίδος. ἐμπεριέχει γὰρ αὐ-
τήν. μεῖζον ἄρα καὶ τὸ Ξ στερεὸν τῆς πυραμίδος ἧς,
βάσις μέν ἐστι τὸ ΕΟΖΠ ΗΡΘΣ πολύγωνον. κορυφὴ δὲ
τὸ Ν. ἀλλὰ καὶ ἔλαττον ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα
ὁ κῶνος οὗ, βάσις μέν ἐστιν ὁ ΑΒΓΔ κύκλος κορυφὴ δὲ
τὸ Λ σημεῖον πρὸς ἔλαττόν τι τοῦ κώνου στερεὸν οὗ, βά-
σις μὲν ὁ ΕΖΗΘ κύκλος κορυφὴ δὲ τὸ Ν σημεῖον τρι-
πλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. ὁμοίως
δὴ δείξομεν ὅτι οὐδὲ ὁ ΕΖΗΘΝ κῶνος πρὸς ἔλαττον
τι τοῦ ΑΒΓΔΛ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει.
ἤπερ ἡ ΖΘ πρὸς τὴν ΒΔ. λέγω δὴ ὅτι οὐδὲ ὁ ΑΒΓΔΛ
κῶνος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘΝ κώνου στερεὸν τρι-
πλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. εἰ γὰρ
δυνατὸν ἐχέτω πρὸς μεῖζον τὸ Ξ. ἀνάπαλιν ἄρα τὸ Ξ
στερεὸν πρὸς τὸν ΑΒΓΔΛ κῶνον τριπλασίονα λόγον
ἔχει ἤπερ ἡ ΖΘ πρὸς τὴν ΒΔ. ὡς δὲ τὸ Ξ στερεὸν πρὸς
τὸν ΑΒΓΔΛ κῶνον: πρὸς ἔλαττόν τι τοῦ ΑΒΓΔ κώνου στε- ·/· οὕτως ὁ ΕΖΗΘΝ κῶ(νος)
ρεόν. καὶ ὁ ΕΖΗΘΝ ἄρα κῶνος πρὸς ἔλαττόν τι τοῦ
ΑΒΓΔΛ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ
ἡ ΖΘ πρὸς τὴν ΒΔ. ὅπερ ἀδύνατον ἐδείχθη. οὐκ ἄρα

BIBLIOTHECA BODLEIANA